Inscription sur la base d'une statue – JHS, XX, 1900 p.153 – IGR, III, 115




M. Ἀντώνιον Σεργίᾳ Ῥοῦφον ἀπό τε τῶν [προ]|γόνων διασημότατον κα[ὶ ἀ]πὸ τῶν ἰδίων αὐτοῦ | φιλοτειμιῶν λαμπρότατον, πάσας μὲν λειτουρ|γίας διεξελθόντα, ἐν πάσαις δὲ φιλοτειμίαι[ς]| εὐδοκιμήσαντα, ἄρξαντα καὶ θιασαρχήσαν|τα πολλάκις, ἀγορανομήσαντα πλεονάκις,| πονταρχήσαντα ἐν τῆι μητροπόλει Πό[ν]|του Νεοκαισαρείᾳ, πολλὰ μὲν καὶ μεγά|λα ἔργα κατασκευασάμενον δι' ἐπιμε|λείας πολὺ δὲ πλείονα ἀπὸ τῶν ἑαυτ[οῦ] | , πρῶτον μὲν ἀνοίξαντα τὸ γυμνάσιον ἀρ|χιερασάμενον δὲ διὰ βίου τῶι θειοτάτωι | Αὐτοκράτορι Ἁδριανῶι μετὰ τῆς διασημο|τάτης [γ]υναικὸς αὐτοῦ Ἀιτωνίας Στρατ[ο]|νείκης, κυνηγέσια καὶ μονομαχίας διαφερούσας παρεσχημένον, ἐπιμελη|θέντα δὲ καὶ τοῦ μετὰ τὴν τελευτὴν ἑαυ|τοῦ χρόνου καὶ θέας ἐτησίους καὶ φιλοτει|μίας δαψιλεῖς διὰ βίου καταλιπόντα | καί, ὃ μέγιστόν ἐστιν, διαδόχον καὶ τοῦ γένο[υς] | καὶ τῶν φιλοτειμιῶν τ[ὴ]ν ἑαυτοῦ θυγατέρα | Ἀντωνίαν Μάξιμαν παρασχόμενον καὶ | ὁμώνυμον θυγατεριδοῦν ἐξ ἀνδρὸς πρω|τεύοντος ἐν τῆι μητροπόλει Ἀμασείᾳ καὶ | παρ' ἡμεῖν Κορνηλιανοῦ Καπίτωνος | καὶ ζῶντα πολλάκις ἡ Σεβαστοπολειτῶν | πόλις καὶ τελευτήσαντα ἐτείμησεν τῆι τῶν | ἀνδριάντων κατὰ φυλὴν ἀναθέσει· ἀνέ|θηκεν δὲ τοὺς ἀνδριάντας ἀπὸ τ[ῶ]ν ἑα[υ]τῆς θυγάτηρ αὐτοῦ Ἀντωνία Μάξιμα.

A Marcus Antonius Rufus, de la tribu Sergia, très illustre par ses ancêtres et très éclatant du fait des libéralités faites sur ses propres biens, qui a été à maintes reprises magistrat […] Il a pris en charge la construction de nombreux et grands monuments et en a édifié d'autres plus nombreux à ses frais ; le premier, il a ouvert le gymnase ; il a été grand-prêtre à vie du divin empereur Hadrien avec sa très illustre épouse Antonia Stratoniké, et a organisé des chasses et des combats de gladiateurs d'un éclat exceptionnel […] A plusieurs reprises de son vivant et après sa mort, la cité de Sébastopolis l'a honoré de statues érigées par les tribus. Sa fille Antonia Maxima a fait ériger les statues à ses frais.